Μέλλων ὀφλήσειν, μὴ παρόντων μαρτύρων.
Στ. Φαυλότατα καὶ ῥᾷστ'. Σω. εἰπὲ δή. Στ. καὶ δὴ λέγω.
Εἰ πρόσθεν ἔτι μιᾶς ἐνεστώσης δίκης,
Πρὶν τὴν ἐμὴν καλεῖσθ' ἀπαγξαίμην τρέχων.
Σω. Οὐδὲν λέγεις. Στ. νὴ τοὺς θεοὺς ἔγωγ'. ἐπεὶ
Οὐδεὶς κατ' ἐμοῦ τεθνεῶτος εἰσάξει δίκην.
Σω. Ὑθλεῖς. ἄπερρ' οὐκ ἂν διδαξαίμην σ' ἔτι.
Στ. Ὁτιὴ τί. ναὶ πρὸς τῶν θεῶν ὦ Σώκρατες.
Σω. Ἀλλ' εὐθὺς ἐπιλήθει σύ γ' ἅττ' ἂν καὶ μάθῃς.
Ἐπεὶ τί δή γε πρῶτον ἐδιδάσκου. λέγε.
Στ. Φέρ' ἴδω τί μέντοι πρῶτον ἦν. τί πρῶτον ἦν;
Τίς ἦν ἐν ᾗ ματτόμεθα μέντοι τἄλφιτα;
Οἴμοι τίς ἦν; Σω. οὐκ ἐς κόρακας ἀποφθερεῖ
Ἐπιλησμότατον καὶ σκαιότατον γερόντιον;
Στ. Οἴμοι. τί οὖν δῆθ' ὁ κακοδαίμων πείσομαι;
Ἀπὸ γὰρ ὀλοῦμαι, μὴ μαθὼν γλωττοστροφεῖν.
Ἀλλ' ὦ Νεφέλαι, χρηστόν τι συμβουλεύσατε.
Χο. Ἡμεῖς μὲν ὦ πρεσβῦτα συμβουλεύομεν,
Εἴ σοι τις υἱός ἐστιν ἐκτεθραμμένος,
Πέμπειν ἐκεῖνον ἀντὶ σαυτοῦ μανθάνειν.
Στ. Ἀλλ' ἔστ' ἔμοιγ' υἱὸς καλός τε κἀγαθός.
Ἀλλ' οὐκ ἐθέλει γὰρ μανθάνειν. τί ἐγὼ πάθω;
Χο. Σὺ δ' ἐπιτρέπεις; Στ. εὐσωματεῖ γὰρ καὶ σφριγᾷ.
Κἄστ' ἐκ γυναικῶν εὐπτέρων τῶν Κοισύρας.
Ἀτὰρ μέτειμί γ' αὐτόν. ἢν δὲ μὴ θέλῃ,
Οὐκ ἔσθ' ὅπως οὐκ ἐξελῶ 'κ τῆς οἰκίας.
Ἀλλ' ἐπανάμεινόν μ' ὀλίγον εἰσελθὼν χρόνον.

A *Iam damnandus,nullis in promtu testibus.*
ST.*Leuißime & facilimè.* SO.*dic, quomodo?*
ST. *Dicam equidem,si instante actione vna adhuc,*
*Priusquàm mea citetur,ego me strangulem.*
SO.*Nihil dicis.* ST.*imò per Deos:nam mortuo*
*Mihi quis obsecro litem velit intendere?*
SO.*Nugas agis:apage hinc,non ego te docuero*
B *Amplius.* ST.*at quamobrem,per Deos:mi Socrates.*
So. *Quia tu obliuisceris tam citò,quæ didiceras:*
*Age enim,dic mihi,quid primò discebas senex?*
ST. *Quid primum?sine videam:quid erat?quid primum erat?*
*At quæ illa,in qua farinas hîc subegimus?*
*Væ mihi,quænam illa erat?* SO.*non tu hinc is in malam*
C *Crucem,homo stultißime,atque obliuiosißime?*
ST.*Hei mihi,quid agam miser? nam nisi perdidicerim*
*Versare volubilem linguam:ego perij,occidi.*
*Nubes date consilium mihi aliquod vtile.*
CH.*Si filius tibi est benè educatus,hunc*
*Vt mittas pro te in ludum literarium,*
*Hoc nos tibi subministramus nunc consili.*
D ST.*At est mihi filius frugi & perquàm bonus.*
*Sed discere tamen non vult. ah,quid fero mali?*
CH.*An verò tu hoc ei permittis?* ST.*corpore*
*Benè est habito, & viget:& est ex mulieribus*
*Alatis natus,de familia Cæsyræ.*
*Sed accedo illum,vt tentem,si renuat mihi:*
*Non est,vt eum non abdicem & extrudam domo.*
*Tu me interim paulisper hîc operire:eo.*

E

BISETVS. Ὑθλεῖς] ὕθλος, ὁ λῆρος, ἡ φλυαρία, ὑθλοῦν, ληροῦν, φλυαροῦν.

Σχολ. Τίς ἦν ἐν ᾗ.] ὡς ἐπιλανθανόμενος. θέλει δὲ εἰπεῖν τὴν κάρδοπον. Ἐπιλησμότατον.] ἔδει εἰπεῖν ἐπιλησμονέστατον. ἡ λέξις δὲ ἐπιλήσμων. φησὶ δὲ Κρατῖνος ἐπιλήσμονι. Γλωττοστροφεῖν] τὴν γλῶτταν στρέφειν δι' ἧς ἂν τοὺς δανειστὰς ἀποκρούσωμαι. Εὐσωματεῖ.] ἐκ τοῦ ἐναντίου συγκατατίθεται. δέον γὰρ ἂν μανθάνειν τοιοῦτον ὑγιαίνοντα. εἰ μὴ ἄρα τοῦτο λέγει ὅτι φοβοῦμαι αὐτόν. Εὐπτέρων.] ἀντὶ τοῦ εὐγενῶν. ἀπὸ τῶν ὀρνέων. ἢ κούφων ὧν ὁ λογισμὸς ἵπταται. φρονουσῶν τὰ Κοισύρας. ἀντὶ τοῦ μεγάλα φρονουσῶν. εὐπτέρων δὲ τοῦ εὐγενῶν. ἡ μεταφορὰ ἐκ τῶν ὀρνέων. ἢ τῶν μετεώρων καὶ ὑπερηφάνων. ἢ ἐπηρμένων. ὡς δραπέτας δὲ αὐτοὺς διαβάλλει. ἀσύμβουλοι δέ φησιν. ὅτι καὶ ταχέως μεταβαλλόμενοι ἐπιθυμίας ἥττους ἁλίσκονται. Ἀτὰρ μέτειμι.] ἐγὼ δὴ μετέλθω. μεταχειρίσομαι εἴπως δυνηθῶ πεῖσαι αὐτόν.

F

## ΣΤΡΟΦΗ ΚΩΛΩΝ ί.

Χο. Ἆρ' αἰσθάνει πλεῖστα
Δι' ἡμᾶς ἀγάθ' αὐτίχ'
Ἕξων μόνας θεῶν;
Ὡς ἕτοιμος ὅδ' ἐστὶν

## CHORVS.

*Equidem auferes multa*
*Deinceps commoda per nos,*
*Solas Deas.Vt hic*
*Promptus est & alacris*

G

Σχόλια. Ἆρ' αἰσθάνει.] κορωνὶς καὶ εἴσθεσις χοροῦ μεσῳδικὴ κώλων διαφόρων ί. τούτων τὸ μὲν πρῶτον δίμετρον ἀντισπαστικὸν ἐκ διτροχαίου καὶ παλιμβακχείου. τὸ β. ἐξ ἀντισπάστου καὶ ἀμφιβράχεος. τὸ γ ἐξ ἐπιτρίτου τρίτου δίμετρον βραχυκατάληκτον. τὸ δὲ δίμετρον ἐκ διτροχαίου καὶ ἀμφιβράχεος. τὸ πέμπτον τροχαϊκὸν δίμετρον ἀκατάληκτον ἀδιαφόρου τῆς τελευταίας οὔσης. τὸ ἕκτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ἕβδομον ἐκ χοριάμβου καὶ διϊάμβου δίμετρον. τὸ ὄγδοον χοριαμβικὸν τρίμετρον ἀκατάληκτον. τὸ ἔνατον ὅμοιον τῷ ἕκτῳ ἐχούσης ἀνάπαιστον τῆς ἀρχούσης. τὸ δέκατον χοριαμβικὸν δίμετρον καταληκτικόν. εἶτ' οὖν ἐκ χοριάμβου καὶ βακχείου.